N. 93

# ΟΙ ΚΔ' ΟΙΚΟΙ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

Προσετέθη δὲ Παρακλητικὸς Κανὼν εἰς τὸν Ἅγιον Χάριν εὐλαβείας ὑπὸ τοῦ Αἰδεσιμωτάτου Ἱερέως καὶ Πνευματικοῦ Πατρὸς

**ΓΕΩΡΓ. Α. ΒΟΥΤΕΡΗ**

Ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος

Προωρώμην τοῦ Κυρίου μου διὰ παντός.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἅγιε ἔνδοξε τροπαιοφόρε μεγαλομάρτυς τοῦ Χριστοῦ Στρατηλάτε Γεώργιε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Pag. 89, N°9

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Α. ΔΙΑΚΟΠΟΥΛΟΥ

ΑΘΗΝΑΙ 1921

23 Ἀπριλίου. Τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου. Ἀργία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἐὰν τύχῃ τὴν Διακαινήσιμον Ἑβδομάδα πάντα ὡς καὶ ἐν ἄλλαις ἡμέραις πλὴν Τετάρτης καὶ Παρασκευῆς. Τετάρτη τῆς Μεσοπεντηκοστῆς καὶ Τετάρτης τῆς Ἀποδώσεως τοῦ Πάσχα γίνεται κατάλυσις ἰχθύος.

### *Ἀπολυτίκιον. Ἦχος Δ'!*

**Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε, Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

(Εἰσοδικόν). «Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν». Μόνον τὴν Διακαινήσιμον ἑβδομάδα καὶ τὰς Κυριακάς, τὰς δὲ ἄλλας ἡμέρας· «Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ».

### Κοντάκιον, ἦχος δ·

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης, τῆς εὐσεβείας, γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ· σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνῃ θερίζεις· ἀθλήσεις δὲ δι' αἵματος, τὸν Χριστὸν ἐκομίσω· καὶ ταῖς πρεσβείαις ἅγιε, ταῖς σαῖς πᾶσι παρέχεις, πταισμάτων συγχώρησιν.

Εἰς τὸ Ἐξαιρέτως. Ὁ Ἄγγελος ἐβόα, τὴν Διακαινήσιμον καὶ τὰς Κυριακὰς ἐν ἄλλῃ ἡμέρᾳ. Τὸ Ἄξιον ἐστίν, καὶ 2 Μεγαλυν.

Τὸν θερμὸν προστάτην καὶ βοηθόν, τὸν ἐν τοῖς κινδύνοις, ἀντιλήπτορα ταχινόν, μαρτύρων κλέος, εἰδώλων καθαιρέτην, Γεώργιον τὸν μέγαν πάντες τιμήσωμεν.

Ἀνάκτων ὑπέρμαχον καὶ πτωχῶν. πλεόντων Σωτῆρα, ἀσθενούντων τε ἰατρόν, αἰχμαλώτων ρύστην, καὶ ὀρφανῶν προστάτην κεκτήμεθα σε πάντες μάρτυς Γεώργιε

Ἀπόλυσις. Ὁ ἀναστὰς ἐκ νεκρῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Οἶκοι κατ' ἀλφάβητον ἀναγινωσκόμενοι ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, νεωστὶ πονηθέντες. Κοντάκιον ἦχος πλ. δ'.

### Τῇ ὑπερμάχῳ

Τῷ πολυάθλῳ τοῦ Χριστοῦ μεγαλομάρτυρι νῦν Γεωργίῳ ἐκ ψυχῆς οἱ πάντες ᾄσωμεν.

Χαιρετίζοντες αὐτὸν ἱεροῖς ἐν οἴκοις· ὡς λαμπρότατον μαρτύρων μέγαν ἥλιον.

Καὶ ὡς πρόμαχον πιστῶν καὶ ἀντιλήπτορα, πόθῳ κράζοντες, χαῖρε μάρτυς Γεώργιε

Ἄγγελος ἐν τοῖς ἄθλοις ἀληθῶς ἀνεδείχθης, Γεώργιε Χριστοῦ ἀθλοφόρε· ὑλικὸς γὰρ καὶ σάρκινος ὢν γενναίως ὑπὲρ πίστεως ἐν ἤθλησας, ὡς ἄϋλος καὶ ἄσαρκος, δι' ὃ σοὶ προσφωνῶ τοιαῦτα.

Χαῖρε, δειχθεὶς φύσις ὑπὲρ φύσιν· Χαῖρε φανεὶς ὕλη ὑπὲρ ὕλην.

Χαῖρε νεανία τερπνέ τε καὶ πάγκαλε· Χαῖρε ἀθλητάρχα Χριστοῦ γενναιότατε

Χαῖρε ἄγγελε ἐν σώματι ὑπερβαίνων τοὺς βροτούς· Χαῖρε ἄνθρωπε ἐγκόσμιε, ὑπερκόσμιε.

Χαῖρε ὅτι ἐν ἄθλοις ἡλιόμορφος ὤφθης· Χαῖρε ὅτι τῷ ᾅδῃ, ὡς ἄγγελος ὡράθης.

Χαῖρε γυμνὴ ἐνέργεια χάριτος· Χαῖρε σαφὴς ἀργία τῆς φύσεως.

Χαῖρε, δι' οὗ ἡ πίστις ἀνυψώθη· Χαῖρε, δι' οὗ ἡ πλάνη κατηργήθη.

### Χαῖρε Μάρτυς Γεώργιε

Βλέμματα διανοίας ἔχων κεκαθαρμένα, προέκρινας παθεῖν ὑπὲρ Κτίστου, καὶ συνθανεῖν μᾶλλον αὐτῷ ἢ ζῆν καὶ πρόσκαιρον ἔχειν ἀπόλαυσιν, στέφει γὰρ ἠράσθης Μαρτύρων, στέφεσθαι, ἢ ψάλλειν τῷ Κυρίῳ.

Χαῖρε κόσμου τὴν φλόγα, διὰ φλογὸς ὁ σβέσας.
Χαῖρε καλῆς βακχείας ὁ κάτοχος· Χαῖρε φιλῶν, ὁμοῦ καὶ φιλούμενος.
Χαῖρε σαυτὸν ἐκδημῶν ὅλος ὅλου. Χαῖρε Χριστῷ ἐνδημῶν ὅλος ὅλου. Χαῖρε Χριστῷ ἐνδημῶν ὅλος ὅλῳ.

Χαῖρε μάρτυς Γεώργιε.

Κατεπλάγη τὸ μέγα, τῆς ἀνδρείας σου θαῦμα, ὁ τύραννος, Γεώργιε μάρτυς, καὶ τοῖς λόγοις σου ἐμβροντηθείς, ἐννεὼς καὶ ἄφωνος ἰχθὺς γέγονεν οὐ γὰρ εἶχε, τί λέγειν, οὐδὲ εἶδε τῷ Κυρίῳ ψάλλειν. Ἀλληλούια,

Λαμπροφώνως ὁ μάρτυς, εἰς ὑπήκοον, πάντων, ἐν μέσῳ τοῦ Σταδίου ἐβόας. Εἷς ὑπάρχει Θεὸς ἡ Τριάς, ὁ Πατὴρ ὁ Υἱὸς καὶ Πνεῦμα ἅγιον· καὶ Θεὸς ἐστὶν ὁ Χριστός, δι ὃ καὶ χαιρετίζομέν σε

Χαῖρε λαμπρὲ τῆς Τριάδος κῆρυξ. Χαῖρε τερπνὴ τῆς πίστεως σύριγξ.
Χαῖρε ἀηδὼν λιγυρὰ καὶ πολύφωνος. Χαῖρε χελιδὼν ᾠδικὴ καὶ τορόφθογγος.
Χαῖρε χείλη οὐρανόβροντα, τῆς Θεότητος Χριστοῦ·
Χαῖρε γλῶσσα ἡ μελίρρυτος, οἰκονομίας αὐτοῦ.
Χαῖρε ὁ δημηγόρος ὁ τῆς θεολογίας. Χαῖρε ὁ κομψὸς ρήτωρ τῶν πιστῶν εὐσεβείας.
Χαῖρε σειρήν, πατρὸς ἡ θελκτήριος. Χαῖρε ψαλτὴρ τοῦ πνεύματος εὔηχος
Χαῖρε δι᾿ οὗ τὸ ἀληθὲς ἐδείχθη. Χαῖρε δι᾿ οὗ τὸ ψεῦδος ἀπηλέγχθη.

Χαῖρε μάρτυς Γεώργιε.

Μέγιστα πάντα τρόπον, τῶν βασάνων τὰ εἴδη, ὑπάρχουσιν, ἃ πέπονθας μάρτυς. Καὶ νοούμενα μόνον αὐτά, κάμπτει καρδίαν καὶ την ἀδαμάντινον, ἀλλὰ σὺ ταῦθ᾿ ὑπέμεινας, μετὰ χαρᾶς τὸν ὕμνον κράζων.

Ἀλληλούια

Νέος μὲν ἡλικίᾳ, πολιὸς δὲ τὴν φρένα, ἐδείχθης, ὦ



Γεώργιε μάρτυς· ὅθεν καὶ τὰς κολάσεις στερρῶς, ὥσπερ τινὸς ἄλλου πάσχοντος πέπονθας, ἐν γεραρῷ φρονήματι, δι᾿ ὅσο κελαδῷ τοιάδε.
Χαῖρε αἰχμῇ, κεντηθεὶς γαστέρα. Χαῖρε ξανθεὶς βουνεύροις τὸ σῶμα.
Χαῖρε ὁ στόμα δαρεὶς πολλαῖς μάστιξιν. Χαῖρε ὁ τὰς χεῖρας δεσμευθεὶς ἁλύσεσιν.
Χαῖρε ὅτι προσωμιλήσας τῷ ξιφηφόρῳ τροχῷ.
Χαῖρε ὅτι λίθον δέδεξαι ἐπὶ τῷ στήθει τῷ σῷ.
Χαῖρε πεπυρωμένας ὁ φορέσας ἐμβάδας.
Χαῖρε ὁ ἐν ἀσβέστῳ τρεῖς ἡμέρας ποιήσας.
Χαῖρε ποτόν, πιὼν δηλητήριον. Χαῖρε συχνῶς οἰκῶν δεσμωτήριον.
Χαῖρε βληθεὶς ὀξυτάτοις ἐν λόγχαις. Χαῖρε λαβὼν τελευτὴν διὰ ξίφους.

*Χαῖρε μάρτυς Γεώργιε*

Ξένα ὄντως ὑπάρχει, καὶ παράδοξα πάντα, ἃ ἔδρασας θαυμάσια μάρτυς· ἐν τῷ καιρῷ ἀγώνων τῶν σῶν, καὶ μετὰ τοὺς ἀγῶνας τῷ πλήθει ἄπειρα, τῇ δυνάμει δὲ μέγιστα, Θεῷ τὸν ὕμνον ψάλλων Ἀλληλούια.

Ὅλον ἔχων ἐν στέρνοις τὸν Χριστὸν ἀθλοφόρε, τὸν ὄντα θαυμαστὸν ἐν Ἁγίοις· δι᾿ αὐτοῦ ἐνήργεις τὰ φρικτά, καὶ πέραν διανοίας ὄντα θαύματα, ἃ ἡμεῖς ἐκπληττόμενοι, σὺν θαύματι ἀναβοῶμεν.

Χαῖρε λογχῶν τὰ ἄκρα ἀμβλύνας. Χαῖρε τροχοῦ βασάνων νικήσας. Χαῖρε ὁ ἀσβέστου φανεὶς ἀκμαιότερος. Χαῖρε ὁ φαρμάκου δειχθεὶς ἰσχυρότερος
Χαῖρε ὅτι νεκρὸν ἤγειρας ἐκ τάφου παλαιόν.
Χαῖρε ὅτι ἐξανέστησας τοῦ Γλυκερίου τὸν βοῦν
Χαῖρε ἐκ Βουλγαρίας ὁ παῖδα διασώσας. Χαῖρε ὁ ἐκ τῆς Κρήτης ἄλλον παῖδα ἁρπάσας.
Χαῖρε δι᾿ οὗ παιδίον νενίκηκεν. Χαῖρε δι᾿ οὗ δεσμεύονται ἔμποροι.
Χαῖρε δειχθεὶς τὸν Κίονα χήρας. Χαῖρε θεοὺς ἑλλήνων ὁ συντρίψας.

Χαῖρε μάρτυς Γεώργιε

Πᾶσα φύσις ἀγγέλων, ἄνωθεν καθορῶσα, ἑστῶτα σε ἐν μέσῳ σταδίου νεανίαν ἄλκιμον Χριστόν, μονομαχοῦντα ἐκρότει, ἐπῄνει σε καὶ χαίρουσα ἐδόξαζε τὸν Κύριον, τὸν ὕμνον ἀναβοῶσα.

Ἀλληλούϊα.

Ῥήτορα τῶν δογμάτων, εὐσεβείας, τρισμάκαρ, καὶ θαύματα πολλὰ ἐκτελοῦντα, σὲ ἐν γῇ ὁρῶντες οἱ λαοί, πρὸς τὴν θείαν πίστιν Χριστοῦ ἐνήγοντο· καὶ ἔχαιρον τῷ πνεύματι, τοιαῦτά σοι ἀναφωνοῦντες.

Χαῖρε τὸ θέατρον τῶν Ἀγγέλων. Χαῖρε τὸ θέαμα τῶν ἀνθρώπων. Χαῖρε οὐρανίων Δυνάμεων ἥδυσμα. Χαῖρε ἐπιγείων βροτῶν ἀγαλλίαμα.

Χαῖρε ὅτι δόξα γέγονας οὐρανοῦ τε καὶ τῆς γῆς.

Χαῖρε ὅτι χαρὰν ἤνεγκας καὶ Ἀγγέλοις καὶ βροτοῖς.

Χαῖρε τοῦ ἄνω κόσμου, ἐντρύφημα ὡραῖον.

Χαῖρε τοῦ κάτω κόσμου, σεμνολόγημα θεῖον.

Χαῖρε γλυκὺ τῶν νόων ἀγλάϊσμα. Χαῖρε ἡδὺ ψυχῶν ἐγκαλλώπισμα.

Χαῖρε δι' οὗ ἡ ἐκκλησία χαίρει. Χαῖρε δι' οὗ πᾶς ὁ κόσμος χορεύει.

Χαῖρε μάρτυς Γεώργιε

Σύστημα τῶν δαιμόνων καθορῶντες σε μάρτυς, νικήσαντα αὐτοὺς ἐν τοῖς ἄθλοις τὴν ἧτταν αὐτῶν ὀλολυγμῷ, πικρῶς ἐθρήνουν, καὶ ταῦτα ἔλεγον, πῶς ὁ σαρκοφόρος ἄσαρκος ἐνίκησε καὶ Θεῷ ψάλλει

Ἀλληλούϊα.

Τρόπαιον ἀνεστήσω καὶ παγκράτιον μέγα, ἑλλήνων κατὰ πάσης τῆς πλάνης· Διὸ καὶ τροπαιοφόρος ὀνομάζει, σὺ μόνος μάρτυς Γεώργιε· ὅπερ ἡμεῖς θαυμάζοντες, ἐφύμνια βοῶμεν ταῦτα.

Χαῖρε δαιμόνων ὁ καταλύτης Χαῖρε Ἑλλήνων ὁ καθαιρέτης.

Χαῖρε ὁ συντρίψας τὰ ἄψυχα εἴδωλα. Χαῖρε ὁ ἐλέγξας αὐτῶν τὸ μηχάνημα.

Χαῖρε ὅτι ἐθριάμβευσας ἐξουσίας καὶ ἀρχάς.

Χαῖρε ὅτι τοῖς σοῖς αἵμασιν, ἔπνιξας Λεβιαθάν.

Χαῖρε ὁ τῆς ἀπάτης πυρὰν κατασβέσας.



Χαῖρε πολυθεΐας πλατυσμὸν ὁ συστείλας.

Χαῖρε πρηστήρ, βωμῶν φλογερώτατε. Χαῖρε τυφῶν, ξοάνων σφοδρότατε.

Χαῖρε δι' οὗ ὁ Σατανᾶς οἰμώζει. Χαῖρε δι' οὗ ἑλληνισμὸς στενάζει.

Χαῖρε μάρτυς Γεώργιε

Ὑπαντῶσιν, ὦ μάρτυς, τῇ ἁγίᾳ ψυχῇ σου, τὰ τάγματα ἁγίων ἁπάντων, ἀνερχομένη εἰς τοὺς Οὐρανούς, καὶ μετὰ ἀγγέλων τὸν ἐπινίκιον ὕμνον, Θεῷ ἠλάλαζον, ἐν εὐφροσύνῃ ψάλλοντες συμφώνως· Ἀλληλούϊα.

Φῶς τὸ ἄδυτον βλέπεις, τῆς ἁγίας Τριάδος, ἀμέσως ὦ Γεώργιε μάρτυς καὶ χαίρεις νῦν τὴν ὄντως χαράν, ἀτελεύτητον τε καὶ ἀνεκλάλητον δι' ἆθλα, ἃ ὑπὲρ αὐτῆς, δι' ὃ βοῶ σοι.

Χαῖρε ζωῆς τρυφῶν ἀθανάτου. Χαῖρε φωτὸς μετασχὼν ἀρρήτου.

Χαῖρε τῶν ἀΰλων ἀγγέλων συνόμιλε. Χαῖρε τῶν ἁγίων ἁπάντων ὁμόσκηνε.

Χαῖρε ὅτι πρὶν συνέπαθες τῷ πεπονθότι Χριστῷ.

Χαῖρε ὅτι συνεδεδόξασαι, νῦν δοξασθέντι αὐτῷ.

Χαῖρε ὁ βασιλείας οὐρανῶν ἀπολαύσας. Χαῖρε τῆς αἰωνίου δόξης ὁ κοινωνήσας.

Χαῖρε φορῶν ἀμάραντον στέφανον. Χαῖρε λαβὼν κατὰ χάριν θέωσιν.

Χαῖρε Θεοῦ, ἄληκτε κληρονόμε. Χαῖρε Χριστοῦ, θεῖε συγκληρονόμε.

Χαῖρε μάρτυς Γεώργιε.

Χάριν εἴληφας μάρτυς, ἐκ Θεοῦ τοῦ ἰᾶσθαι, τὰ πάθη τῶν ψυχῶν καὶ σωμάτων· δι' ὃ παράσχου ταύτην ἡμῖν, τοῖς σοῖς νεωκόροις, καὶ κατ' ἀμφοτέρων πάσχουσιν, ἀλλὰ κράζουσι Θεῷ τὸν τερπνὸν ὕμνον· Ἀλληλούϊα

Ψάλλοντές σου τὴν μνήμην, καὶ τὴν ἄθλησιν μάρτυς κροτοῦντες ἱεραῖς μελῳδίαις, σὲ ἀνευφημοῦμεν ἐκ ψυχῆς, ὡς θερμὸν προ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

στάτην, κόσμου καὶ φύλακα, καὶ ᾄσμασιν, ὡς χείλεσιν, ἅπαντες προσπτυσώμεθά σε.

Χαῖρε πτωχῶν ὁ ἄσυλος πλοῦτος. Χαῖρε χειρῶν ὁ μέγας προΐστωρ. Χαῖρε εὐεργέτα πιστῶν πολυποίκιλε. Χαῖρε ἀσθενούντων ἰατρὲ ἀδάπανε.

Χαῖρε ὅτι πᾶσιν ἅπαντα γίνει διὰ τὸν Χριστόν.
Χαῖρε ὅτι κόσμον ἅπαντα ἐλευθεροῖς τῶν δεινῶν.
Χαῖρε τῶν ἐν ἀνάγκαις ὁ ταχὺς ἀντιλήπτωρ.
Χαῖρε τῶν θλιβομένων, ὁ ὀξὺς παρακλήτωρ.
Χαῖρε πηγὴ θαυμάτων ἀκένωτε. Χαῖρε ῥοὴ χαρίτων ἀένναε.
Χαῖρε ναὲ τοῦ ἐν Λύδδῃ τὸ θαῦμα. Χαῖρε κοινέ, πρεσβευτὰ καὶ μεσίτα.

Χαῖρε μάρτυς Γεώργιε

Ὦ Γεώργιε μάρτυς, τὸ γλυκὺ πιστοῖς πᾶσι, καὶ ὄνομα καὶ πρᾶγμα ὑπάρχων, ἐφύμνιον τοῦτο τὸ βραχύ, ὃ προσφέρομέν σοι εὐμενῶς πρόσδεξαι, καὶ ἐκ παντοίας ῥῦσαι περιστάσεως, τοὺς μελῳδοῦντας Ἀλληλούϊα.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος καὶ τὸ τροπάριον ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Τὸν γενναιότατον Χριστοῦ στρατιώτην, καὶ Ἀθλητὴν παναληθῆ τοῦ Σωτῆρος, καὶ Ἰατρὸν πανάριστον τῶν νόσων, ἐν ᾠδαῖς ἅπαντες τιμήσωμεν πρὸς αὐτὸν ἐκβοῶντες, λύτρωσαι πρεσβείαις σου τῆς παρούσης ἀνάγκης, τῆς ἀφορήτου, ἵνα σε ἀεί, ὡς εὐεργέτην ὑμνοῦμεν Γεώργιε. Δόξα. Καὶ νῦν. Θεοτοκίον. Οὐ σιωπήσωμεν. Ὁ Ν. καὶ ὁ κανών. Ἦχ. πλ. δ' ἔχων ἀκροστ. ἐν τοῖς Θεοτοκίοις.

### ΣΕΡΑΦΕΙΜ

**ᾨδὴ α'. Ἦχ. πλ. δ'.** Ὑγρὰν διοδεύσας

Γεώργιε μάκαρ, ἀγωνισθεὶς τὸν θεῖον ἀγῶνα, ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου εὐφροσύνης, ὑπὲρ τῶν δούλων πρεσβεύων πρὸς Κύριον.

Ἐνίκησας δόγμα τυραννικόν, ἐνθέοις ἀγῶσιν· ἀλλὰ δέομαι ἀθλητά, ταῖς σαῖς μεσιτείαις, οἴκτειρόν με, ὑπὸ τῶν νόσων νικώμενον πάντοτε.

Ναὸς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς τῇ σῇ Εἰκόνι προσπελάζοντας εὐλαβῶς Γεώργιε, Μάκαρ, ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.

Θεοτόκιον

Σὺ εἶ, Παρθένε ἄσπιλε τῆς ἐμῆς ψυχῆς ταλαιπώρου, ἡ ἰσχύς τε καὶ ἡ ἐλπίς· τῆς δ' ἐσκοτισμένης μου καρδίας, σὺ εἶ τὸ φῶς τὸ ἀνέσπερον, Πάναγνε.

**ᾨδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.**

Ἵλεων δεήσεσι ταῖς εὐπροσδέκτοις σου ποίησον τὸν Λυτρωτήν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

τοῖς σὲ ἀνυμνοῦσιν Ἀθλοφόρε Γεώργιε.

Δὸς ὑμῖν βοήθειαν τοῖς σοῖς ἱκέταις ἐν θλήψεσιν οὖσι δειναῖς καὶ παντοίαις νόσοις, ταῖς λιταῖς σου Γεώργιε.

Ἔνθεος γενόμενος καὶ φωτισμοῦ παντὸς ἔμπλεως, πάντων ἡμῶν τὰς ψυχὰς αὐγάζεις, ταῖς εὐχαῖς σου Γεώργιε.

Θεοτόκιον

Ἐξωτέρου σκότους με, πυροφλεγοῦς πικροῦ σκώληκος, ῥῦσαι Ἁγνὴ λιταῖς μητρικαῖς σου, καὶ παντοίας κολάσεως.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε

Ἀσθενείαις ὁ δίκαιος καὶ κινδύνοις πλείστοις ἀεὶ συνέχομαι, ὦ Γεώργιε, βοήθει μοι, τῷ κατεγνωσμένῳ ἱκετεύω σε.

Δεσμευθεὶς διὰ Κύριον, πᾶσαν τοῦ Βελίαρ κακίαν ἔλυσας, ἐξ ἧς ἅπαντας περίσωζε, τοὺς πιστῶς ὑμνοῦντας, Γεώργιε.

Νοσημάτων καὶ θλίψεων, καὶ παντοίας βλάβης ἡμᾶς ἀπάλλαξον, ὦ Γεώργιε Πανεύφημε, ταῖς πρὸς τὸν Σωτῆρα ἱκεσίαις σου.

Θεοτοκίον

Ῥῶσιν δός μοι, Πανάχραντε, καὶ ἐκ χαλεπῶν κινδύνων διάσωσον καὶ παθῶν κοπρίας ἔγειρον, σὸν ἀχρεῖον δοῦλον, ταῖς πρεσβείαις σου.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς

Φῶς τὸ νοητὸν τῇ καρδίᾳ σου δεξάμενος, τὴν τῆς ψυχῆς ἡμῶν ζοφότητα, φωτὶ τῷ θείῳ, Γεώργιε, καταλάμπρυνον.

Σὺ μαρμαρυγαῖς ταῖς τῆς χάριτος Γεώργιε, καταυγαζόμενος φώτισον, ψυχὰς σῶν δούλων, σκοτισθείσας παραπτώμασι.

Πάθη χαλεπὰ τῆς ψυχῆς ἡμῶν, Γεώργιε, ταῖς πρὸς τὸν Πλάστην σου δεήσεσι, παρακαλοῦμεν ἰάτρευσον ἐξάλειψον.

Θεοτοκίον.

Ἄχραντε ἡμᾶς ἀπογνώσεως ἐξάγαγε βυθοῦ, καὶ πρὸς ὅρμον τῆς ἀληθοῦς τοὺς οἰκέτας, μετανοίας καθοδήγησον.



Ὠδὴ ς΄. Ἱλάσθητί μοι

Κατεύνασον τῶν παθῶν τὰς καταιγίδας Γεώργιε, κινδύνους τε χαλεποὺς καὶ νόσους κατάπαυσον τῶν πίστει τιμώντων σε, ταῖς πρὸς τὸν Δεσπότην παναγίας ἱκεσίαις σου.

Μεγάλους ἐπὶ τῆς γῆς ἀνύσας ἄθλους, Γεώργιε, μεγάλων ἡμᾶς κακῶν, κινδύνων καὶ θλίψεων, ταῖς σαῖς ἀπολύτρωσαι, πρὸς Θεὸν πρεσβείαις, ἵνα πόθῳ σε γεραίρωμεν.

Γεώργιε Ἀθλητὰ τῇ σῇ πρεσβείᾳ διάσωσον, ἐκ πειρασμῶν χαλεπῶν, καὶ πάσης Αἱρέσεως, καὶ νόσων καὶ θλίψεων, ἡμᾶς τοὺς σοὺς δούλους, τοὺς τιμῶντας τὴν Εἰκόνα σου.

Θεοτοκίον.

Φωτί σου αὔγασον νοῦν, καὶ τὴν ψυχήν μου ἁγίασον, τὸν ἐν Ἁγίοις Θεὸν ἐπαναπαυόμενον, ἀρρήτως κυήσασα, Παναγία Κόρη εὐπρυσδέκτοις ἱκεσίαις σου.

Διάσωζε ἐκ πάσης νόσου, Γεώργιε Μάκαρ, ταῖς πρὸς Θεὸν ἐνθέρμοις πρεσβείαις σου, τοὺς προστρέχοντας τῇ σεπτῇ Εἰκόνι.

Καὶ Θεοτοκίον. Ἄχραντε

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον.

Προστάτην σε θερμὸν καὶ τεῖχος ἀπροσμάχητον, πλουτοῦντες ἀεὶ οἱ σοὶ προσαπελάζοντες, γοερῶς ἐκβοῶμεν σοι· Πανσέβαστε Γεώργιε, πρόφθασον, καὶ ἐκ παθων ἡμᾶς καὶ θλίψεων ἀπάλλαξον, ταῖς θείαις πρὸς τὸν Σωτῆρα πρεσβείαις σου.

Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Κύριος

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος ταῦτα ἐντέλλομαι ὑμῖν κτλ. (Ζήτει Ἀπριλ. 23)

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου

ΠΑΝΤΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι·

Ὅλην ἀποθέμενος βιωτικὴν τυραννίδα, ὀπίσω σοῦ ἔδραμεν ὁ σεπτὸς Γεώργιος. Θεὲ Ἄναρχε, καὶ τερπνὰ ἅπαντα καὶ δεσμὸν ἄλυτον, ὡς ἱστὸν ἀράχνης ἔλυσε διὸ καὶ ἔτυχε τῆς σῆς Βασιλείας ἀόρατε· αὐτοῦ σὺν ταῖς δεήσεσιν, ἱλασμόν, Οἰκτίρμων, παράσχου μοι τῶν πλημμελημάτων, καὶ δεῖξόν μοι ἀνώτερον παθῶν, τῶν ἐνοχλούντων μου, Δέσποτα τὴν ψυχὴν ἑκάστοτε.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου κτλ.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κοσμικῶν σκανδάλων, καὶ παθῶν ἀτιμίας καὶ πάσης θλίψεως, Γεώργιε, εὐχαῖς σου, διάσωζε καὶ δίδου ναμέλπειν ἑκάστοτε· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ραθυμίας ἀτόπου καὶ δεινῆς ἁμαρτίας, ταῖς ἱκεσίαις σου, Γεώργιέ με σῶσον, προστρέχοντα ἐν πίστει τῇ θερμῇ ἀντιλήψει σου. ὅπως τιμῶ σε πιστῶς εἰς πάντας τοὺς αἰῶνας.

Ὦ Γεώργιε Μάκαρ, δυσχερείας τοῦ βίου κλυδωνιζόμενον, μηδόλως με παρίδῃς ἀλλ' οἴκτειρον εὐχαῖς σου καὶ διάσωσον ψάλλοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Ἐν τῷ βίῳ τὸν χρόνον ἀμελείᾳ, Παρθένε, ἐκδαπανήσας πολλῇ, προσπίπτω καὶ βοῶ σοι, διέγειρόν με σῶσον, τῷ Υἱῷ σου κραυγάζοντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα

Τοὺς σοὺς ἱκέτας, Γεώργιε Μάκαρ, ἐκ κινδύνων θλίψεων καὶ νόσων, ταῖς πρὸς τὸν Σωτῆρα ἀπάλλαξον πρεσβείαις.

Στήριξον πάντας, ὦ Γεώργιε Μάρτυς, ἐν τῇ πίστει καὶ θείᾳ ἀγάπῃ, καὶ ρῦσαι εὐχαῖς σου κακίας τοῦ Βελίαρ.

Τῇ ὑπερμάχῳ ἀντιλήψει σου, Μάρτυς, καταφεύγοντες αἰτούμεθα νόσων καὶ δεινῶν εὐχαῖς σου, ταχέως λυτρωθῆναι.



Θεοτοκίον

Ἴασαι Κόρη, ταῖς πρὸς τὸν Κτίστην λιταῖς σου, τηκομένους νόσοις τοὺς σοὺς δούλους καὶ δεινῶν παντοίων ἀπάλλαξον ταχέως.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον

Νοσούντων καὶ πλεόντων, καὶ τῶν ἐν κινδύνοις, πρὸς σωτηρίαν κατέστη ὑπέρμαχος, τῶν ἀθλητῶν ἡ ἀκρότης μάρτυς, Γεώργιε.

Συνήφθης ταῖς χορείαις πάντων τῶν Μαρτύρων, σὺν οἷς δυσώπει Θεόν, ὦ Γεώργιε, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα θερμῶς ἱκέτευε.

Θεοτοκίον

Μαρία, ἐκταθεῖσαν τὴν οἰκτρὰν ψυχήν μου, τῆς ἁμαρτίας φλογμῷ καταδρόσισον, τοῦ σοῦ ἐλέους ρανίσι, καὶ σῶσον Πάναγνε.

Τό, Ἄξιον ἐστίν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Κατεύνασον τὸν τάραχον, Ἀθλητά, παθῶν καὶ κινδύνων, καὶ δαιμόνων τὰς προσβολάς, ἀπέλασον πάσας, ἀπὸ τῶν σὲ ὑμνούντων, ὡς Μάρτυρα Κυρίου, θεῖε Γεώργιε.

Πόθῳ ἑορτάσωμεν, ἀδελφοί, τὴν φωσφόρον μνήμην, Γεωργίου τοῦ Ἀθλητοῦ, καὶ στέψωμεν τοῦτον τοῦ ἔαρος τοῖς ἴοις ἵνα ἀξιωθῶμεν τῆς θείας ἀγάπης.

Ἀνάκτων ὑπέρμαχον καὶ πτωχῶν, πλεόντων σωτῆρα, ἀσθενούντων τε ἰατρὸν αἰχμαλώτων σύστην, καὶ ὀρφανῶν προστάτην, κεκτήμεθά σε πάντες Μάρτυς Γεώργιε.

Λῦσον, ὦ Γεώργιε Ἀθλητά, νέφος ἁμαρτίας, καὶ τὰς νόσους τὰς φοβερὰς, δίωξον ἐν τάχει, ἀπὸ τῶν προσκυνούντων, τὴν θείαν σου Εἰκόνα καὶ ἀνυμνούντων σε.

Καὶ Θεοτοκίον, ψάλλομεν προθύμως σοι τὴν ᾠδήν.

Τρισάγιον. Εἶτα τὸ Τροπάριον. Ἦχος δ΄.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτὴς καὶ τῶν πτωχῶν ὑπερασπιστὴς κτλ. Εἶτα ἐκτενής, καὶ ἀπόλυσις· καθ' ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντας τοὺς τελοῦντάς σου πιστῶς, τὴν ἀξιοθαύμαστον μνήμην, Μάρτυς Γεώργιε, πάσης περιστάσεως ρῦσαι πρεσβείαις σου, νοσημάτων καὶ θλίψεων, πα ῶν καὶ κινδύνων, σὲ καθικετεύομεν, καὶ τῶν βελῶν τοῦ ἐχθροῦ· ὅπως, σε φαιδρῶς ἀνυμνοῦμεν, ὡς κοινὸν ἡμῶν εὐεργέτην, καὶ τῶν Ἀθλοφόρων ἐγκαλλώπισμα.

## ΤΗ ΠΕΜΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ

### Απολυτίκιον. Ἦχος Δ'

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Λυτρωτὴς τοῦ κόσμου.

### Εἰσοδικόν.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, πρεσβείαις τῆς Θεοτόκου ψάλλοντάς σοι. Ἀλληλούϊα.

### Κοντάκιον. Ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε. Ἐγὼ εἰμὶ μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν.

### Μεγαλυνάρια

Ἀόρατος κόσμος καὶ ὁρατός, ἅπας ἑορτάζει, καὶ οἱ Ἄγγελοι σὺν βροτοῖς, σκιρτῶντες ὑμνοῦσιν ἐν φωναῖς ἀσιγήτοις τὴν ἄνοδόν Σου Σῶτερ καὶ τὴν Ἀνάστασιν.

Κοινωνικόν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ἀλληλούϊα

Στίχος. Ὅτι Κύριος Ὕψιστος, φοβερός, Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἀλληλούϊα.

### *Αὐγούστου 6. Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ*

### Ἀπολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ Ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.



### Εἰσοδικόν.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ Ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι. Ἀλληλούϊα.

### Κοντάκιον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ Ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου Χριστὲ ὁ Θεὸς ἐθεάσαντο· ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

### Εἰς τό ἐξαιρέτως: Νῦν τὰ ἀνήκουστα ἠκούστη ἐν τῇ ζ' ᾠδῇ.

### *Μεγαλυνάριον*

Τὴν τῶν Ἀποστόλων καὶ Μαθητῶν, ἀκρότητα Σῶτερ, συμπαρέλαβες ἐν Θαβώρ, καὶ ἔμπροσθεν τούτων λαμπρῶς μετεμορφώθης, ἀκτῖσι καταυγάζων αὐτοὺς δυνάμεως.

### Κοινωνικόν.

Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε πορευσόμεθα εἰς τὸν αἰῶνα. Ἀλληλούϊα.

Ἀντὶ τὸ εἴδομεν τὸ φῶς· λέγομεν. Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεὸς καὶ Ἀπόλυσις.

ΓΕΩΡΓΙΟΣ Α. ΒΟΥΤΕΡΗΣ (Ἱερεύς)

---

Ὀχτώηχοι πρακτικοὶ παρ' ἀρχαίων.

## ΟΙ ΔΥΟ ΑΒΒΑΔΕΣ

(Συνωμιλοῦντες)

| | |
|---|---|
| Α' ἦχος. | Ἀββᾶς Ἀββᾶ ἀπήντησε |
| Β' » | Καὶ τὸν ἐχαιρέτησε. |
| Γ' » | Πόθεν ἔρχεσαι Ἀββᾶ. |
| Δ' » | Ἀπὸ τὴν Κωνσταντινούπολιν |
| Πλ. Α' | Καὶ τί μᾶς ὁμολογεῖς. |
| Πλ. Β' | Ὁ πατήρ σου ἀπέθανε. |
| Ἠχ. βαρύς | Ἡ μήτηρ σου ἀσθενεῖ. |
| Ἠχ. πλ. δ' | Ὁ Θεὸς συγχωρέσει αὐτόν. |

===

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ